καταμανθάνοντες τὴν ἑαυτῶν σφραγῖδα τὴν στολὴν ἐλάμβανον. εἶτ᾽ αὖθις τῆς ἑορτῆς παρελθούσης εἰς τὸν αὐτὸν κομίσαντες τόπον καὶ τῷ φρουράρχῳ δείξαντες σύμφωνον τὴν σφραγῖδα κατετίθεντο. ταῦτα μὲν οὖν ὑπὸ τοῦ πάθους τῶν ἐπισυμβεβηκότων παρεδηλώθη. τότε δ᾽ οὖν ὁ τῶν Ἰουδαίων βασιλεὺς Ἡρώδης καὶ ταύτην τὴν βᾶριν ὀχυρωτέραν κατασκευάσας ἐπ᾽ ἀσφαλείᾳ καὶ φυλακῇ τοῦ ἱεροῦ, χαριζόμενος Ἀντωνίῳ φίλῳ μὲν αὐτοῦ Ῥωμαίων δὲ ἄρχοντι προσηγόρευσεν Ἀντωνίαν. Ἐν δὲ τοῖς ἑσπερίοις μέρεσιν τοῦ περιβόλου πύλαι τέτταρες ἐφέστασαν, ἡ μὲν εἰς τὰ βασίλεια τείνουσα τῆς ἐν μέσῳ φάραγγος εἰς δίοδον ἀπειλημμένης, αἱ δύο δὲ εἰς τὸ προάστειον, ἡ λοιπὴ δ᾽ εἰς τὴν ἄλλην πόλιν βαθμίσιν πολλαῖς κάτω τε εἰς τὴν φάραγγα διειλημμένη καὶ ἀπὸ ταύτης ἄνω πάλιν ἐπὶ τὴν πρόσβασιν· ἄντικρυς γὰρ ἡ πόλις ἔκειτο τοῦ ἱεροῦ θεατροειδὴς οὖσα περιεχομένη βαθείᾳ φάραγγι κατὰ πᾶν τὸ νότιον κλίμα. Τὸ δὲ τέταρτον αὐτοῦ μέτωπον τὸ πρὸς μεσημβρίαν εἶχε μὲν καὶ αὐτὸ πύλας κατὰ μέσον, ἐπ᾽ αὐτοῦ δὲ τὴν βασίλειον στοὰν τριπλῆν κατὰ μῆκος διιοῦσαν ἀπὸ τῆς ἑῴας φάραγγος ἐπὶ τὴν ἑσπέριον· οὐ γὰρ ἦν ἐκτεῖναι προσωτέρω δυνατόν. Ἔργον δ᾽ ἦν ἀξιαφηγητότατον τῶν ὑφ᾽ ἡλίῳ· μεγάλου γὰρ ὄντος τοῦ τῆς φάραγγος ἀναλήμματος καὶ οὐδ᾽ ἀνεκτοῦ κατιδεῖν, εἴ τις ἄνωθεν εἰς τὸν βυθὸν εἰσκύπτοι, παμμέγεθες ὕψος ἐν αὐτῷ τὸ τῆς στοᾶς ἀνέστηκεν, ὡς εἴ τις ἀπ᾽ ἄκρου τοῦ ταύτης τέγους ἄμφω συντιθεὶς τὰ βάθη διοπτεύοι, σκοτοδινιᾶν οὐκ ἐξικνουμένης τῆς ὄψεως εἰς ἀμέτρητον τὸν βυθόν. Κίονες δ᾽ ἐφέστασαν κατ᾽ ἀντίστοιχον ἀλλήλοις ἐπὶ μῆκος τέτραχα, συνεδέδετο γὰρ ὁ τέταρτος στοῖχος λιθοδομήτῳ τείχει, καὶ πάχος ἦν ἑκάστου κίονος εἰς τρεῖς ἐπισυναπτόντων ἀλλήλοις τὰς ὀργυιὰς περιλαβεῖν, μῆκος δὲ ποδῶν ἑπτὰ καὶ εἴκοσι διπλῆς σπείρας ὑπειλημένης. Πλῆθος δὲ συμπάντων δύο καὶ ἑξήκοντα καὶ ἑκατὸν κιονοκράνων αὐτοῖς κατὰ τὸν Κορίνθιον τρόπον ἐπεξειργασμένων γλυφαῖς ἔκπληξιν ἐμποιούσαις διὰ τὴν τοῦ παντὸς μεγαλουργίαν. Τεττάρων δὲ στίχων ὄντων τρεῖς ἀπολαμβάνουσι τὰς διὰ μέσου χώρας ταῖς στοαῖς. τῶν δὲ αἱ μὲν δύο παράλληλοι τὸν αὐτὸν γεγόνασι τρόπον, εὖρος ἑκατέρας πόδες τριάκοντα, μῆκος δὲ στάδιον, ὕψος δὲ πόδες ὑπὲρ πεντήκοντα· τῆς δὲ μέσης εὖρος μὲν ἡμιόλιον, ὕψος δὲ διπλάσιον· ἀνεῖχεν γὰρ πλεῖστον παρὰ τὰς ἑκατέρωθεν. Αἱ δ᾽ ὀροφαὶ ξύλοις ἐξήσκηντο γλυφαῖς πολυτρόποις σχημάτων ἰδέαις, καὶ τὸ τῆς μέσης βάθος ἐπὶ μεῖζον ἠγείρετο περιδεδομημένου τοῖς ἐπιστυλίοις προμετωπιδίου τοίχου κίονας ἔχοντος ἐνδεδομημένους καὶ ξεστοῦ παντὸς ὄντος, ὡς ἄπιστα τοῖς οὐκ εἰδόσιν καὶ σὺν ἐκπλήξει θεατὰ τοῖς ἐντυγχάνουσιν εἶναι. Τοιοῦτος μὲν ὁ πρῶτος περίβολος ἦν. ἐν μέσῳ δὲ ἀπέχων οὐ πολὺ δεύτερος, προσβατὸς βαθμίσιν ὀλίγαις, ὃν περιεῖχεν ἑρκίον λιθίνου δρυφάκτου γραφῇ κωλῦον εἰσιέναι τὸν ἀλλοεθνῆ θανατικῆς ἀπειλουμένης τῆς ζημίας. Εἶχεν δ᾽ ὁ μὲν ἐντὸς περίβολος κατὰ μὲν τὸ νότιον καὶ βόρειον κλίμα τριστοίχους πυλῶνας ἀλλήλων διεστῶτας, κατὰ δὲ ἡλίου βολὰς ἕνα τὸν μέγαν, δι᾽ οὗ παρῄειμεν ἀγνοὶ μετὰ γυναικῶν. Ἔσωτέρω δὲ κἀκείνου γυναιξὶν ἄβατον ἦν τὸ ἱερόν. ἐκείνου δ᾽ ἐνδοτέρω τρίτον, ὅπου τοῖς ἱερεῦσιν

εἰσελθεῖν ἐξὸν ἦν μόνοις. ὁ ναὸς ἐν τούτῳ καὶ πρὸ αὐτοῦ βωμὸς ἦν, ἐφ᾽ οὗ τὰς θυσίας ὡλοκαυτοῦμεν τῷ θεῷ. Τούτων εἰς οὐδένα τῶν τριῶν ὁ βασιλεὺς Ἡρώδης παρῆλθεν· ἐκεκώλυτο γὰρ οὐκ ὢν ἱερεύς. ἀλλὰ κἀν τοῖς ἔργοις τὰ περὶ τὰς στοὰς καὶ τοὺς ἔξω περιβόλους ἐπραγματεύετο καὶ ταῦτ᾽ ᾠκοδόμησεν ἔτεσιν ὀκτώ. Τοῦ δὲ ναοῦ διὰ τῶν ἱερέων οἰκοδομηθέντος ἐνιαυτῷ καὶ μησὶν πέντε ἅπας ὁ λαὸς ἐπληρώθη χαρᾶς καὶ τοῦ τάχους πρῶτον μὲν τῷ θεῷ τὰς εὐχαριστηρίους ἐποιοῦντο, μετὰ δὲ καὶ τῆς προθυμίας τοῦ βασιλέως ἑορτάζοντες καὶ κατευφημοῦντες τὴν ἀνάκτισιν. Ὁ δὲ βασιλεὺς τριακοσίους ἔθυσε τῷ θεῷ βοῦς καὶ τῶν ἄλλων οἱ κατὰ δύναμιν, ὧν οὐχ οἷόν τε τὸν ἀριθμὸν εἰπεῖν· ἐκφεύγει γὰρ τὸ δύνασθαι πρὸς ἀλήθειαν εἰπεῖν· Συνεπεπτώκει γὰρ τῇ προθεσμίᾳ τοῦ περὶ τὸν ναὸν ἔργου καὶ τὴν ἡμέραν τῷ βασιλεῖ τῆς ἀρχῆς, ἣν ἐξ ἔθους ἑώρταζον, ἐς ταὐτὸν ἐλθεῖν, καὶ περισημοτάτην ἐξ ἀμφοῖν τὴν ἑορτὴν γενέσθαι. Κατεσκευάσθη δὲ καὶ κρυπτὴ διώρυξ τῷ βασιλεῖ, φέρουσα μὲν ἀπὸ τῆς Ἀντωνίας μέχρι τοῦ ἔσωθεν ἱεροῦ πρὸς τὴν ἀνατολικὴν θύραν, ἐφ᾽ ἧς αὐτῷ καὶ πύργον κατεσκεύασεν, ἵν᾽ ἔχῃ διὰ τῶν ὑπογέων εἰς αὐτὸν ἀνιέναι, τὸν ἐκ τοῦ δήμου νεωτερισμὸν ἐπὶ τοῖς βασιλεῦσι φυλαττόμενος. Λέγεται δὲ κατ᾽ ἐκεῖνον τὸν καιρὸν οἰκοδομουμένου τοῦ ναοῦ τὰς μὲν ἡμέρας οὐχ ὕειν, ἐν δὲ ταῖς νυξὶ γίνεσθαι τοὺς ὄμβρους, ὡς μὴ κωλυσιεργεῖν. καὶ τοῦτον τὸν λόγον οἱ πατέρες ἡμῖν παρέδωκαν, οὐδ᾽ ἐστὶν ἄπιστον, εἰ καὶ πρὸς τὰς ἄλλας ἀπίδοι τις ἐμφανείας τοῦ θεοῦ. τὰ μὲν οὖν περὶ τὸν ναὸν ἐξῳκοδομήθη τοῦτον τὸν τρόπον».

(Ἰωσήπου, Ἰουδαϊκή Ἀρχαιολογία, Ἅπαντα 13, Ἰουδαϊκῆς Ἀρχαιολογίας Βιβλία ΙΕ΄, ΙΣΤ΄ (βιβλίο ΙΕ΄ – xi-1) Ἐκδόσεις «Κάκτος», Ἀθήνα 1997

Β΄. Ἰουδαϊκός Πόλεμος

«V 1. Μολονότι τό ἱερό χτίστηκε, ὅπως εἶπα, πάνω σέ ἰσχυρό λόφο, στήν ἀρχή τό ἐπίπεδο τῆς κορυφῆς του μόλις πού ἀρκοῦσε γιά τόν Ναό καί τόν βωμό, καθώς ὁ λόφος ἦταν ὀλόγυρα ἀπόκρημνος καί ἀπότομος. Ἀλλά ὁ βασιλιάς Σολομών, ὁ ὁποῖος ἦταν καί ὁ ἱδρυτής τοῦ Ναοῦ, ὕψωσε τεῖχος στήν ἀνατολική πλευρά καί πάνω στό ἔδαφος πού σχηματίστηκε μπῆκε μιά στοά, στίς ὑπόλοιπες πλευρές ὁ Ναός παρέμενε γυμνός. Μέ τό πέρασμα τῶν αἰώνων καί καθώς ὁ λαός συνέχιζε λίγο λίγο τίς προσχώσεις, ἐξισωνόταν μ᾽ αὐτές ἡ ἐπίπεδη κορυφή τοῦ λόφου καί διευρυνόταν. Στή συνέχεια, γκρέμισαν ἕνα μέρος τοῦ βορείου τείχους καί κερδήθηκε ἔκταση τόση ὅση κατέλαβε ἀργότερα ὁλόκληρος ὁ περίβολος τοῦ ἱεροῦ. Ἔπειτα, ἀφοῦ τείχισαν κυκλικά ἀπό τή ρίζα τόν λόφο ἀπό τίς τρεῖς πλευρές καί ἐκπόνησαν ἔργο πολύ μεγαλύτερο ἀπό ὅσο μποροῦσαν νά ἐλπίζουν, ἔργο για τό ὁποῖο ἀπαιτήθηκαν μακραίωνες ἐργασίες καί ὅλοι οἱ ἱεροί θησαυροί, τούς ὁποίους ἀναπλήρωσαν οἱ δασμοί πού στάλθηκαν ἀπ᾽ ὅλη τήν οἰκουμένη πρός τόν Θεό, οἰκοδόμησαν τούς ἄνω περιβόλους καί τό κάτω ἱερό. Ἐτούτου τό χαμηλότερο

σημεῖο ξεκινοῦσε ἀπό βάθος τριακοσίων πήχεων καί περισσότερο σέ μερικά σημεῖα. Τό βάθος τῶν θεμελίων δέν φαινόταν κἄν, γιατί ἐπιχωμάτωσαν τά φαράγγια μέχρι μεγάλο ὕψος θέλοντας νά φέρουν στό ἴδιο ἐπίπεδο τά δρομάκια τῆς πόλης. Οἱ ὀγκόλιθοι πού χρησιμοποιήθηκαν στή δόμηση ἦταν σαραντάπηχοι τό μέγεθος, καθώς ἡ ἀφθονία τῶν χρημάτων καί ἡ φιλοτιμία τοῦ λαοῦ ὁδήγησε σέ ἔργα μεγαλύτερα ἀπό τά λόγια, κι ἐκεῖνο πού οὔτε ἤλπιζαν ποτέ νά φτάσει σέ πέρας ἡ ἐπιμονή καί ὁ χρόνος τό ἔκανε κατορθωτό.

2, Ἀλλά καί τά ἔργα πού ἔγιναν ἀπό πάνω ἦταν ἰσάξια τῶν θεμελίων. Οἱ στοές ἦταν ὅλες διπλές, στηριγμένες πάνω σέ ὕψους εἴκοσι πέντε πήχεων κίονες μονόλιθους ἀπό τό λευκότερο μάρμαρο, μέ ὀροφές ἀπό κέδρινα φατνώματα. Ἡ φυσική πολυτέλεια αὐτῶν τῶν στοῶν, καθώς καί τό ὑάλισμα καί ἡ συναρμογή, τούς ἔδινε θωριά ἐξαίσια, χωρίς τό παραμικρό ἐπιπλέον διακοσμητικό ζωγραφικό γλυπτικό ἔργο. Τό πλάτος τους ἔφτανε τούς τριάντα πήχεις, ἐνῶ συνολικά ἡ περίμετρός τους ἔφτανε τά ἕξι στάδια, περιλαμβανομένης καί τῆς Ἀντωνίας. Ἡ ὑπαίθρια αὐλή ἦταν ἀπό ἄκρου εἰς ἄκρον στρωμένη μέ κάθε εἴδους πέτρα. Διασχίζοντας τοῦτο τόν χῶρο πρός τό δεύτερο ἱερό, τόν ἔβρισκε κανείς περιφραγμένο ἀπό πέτρινο κιγκλίδωμα ὕψους τριῶν πήχεων ἐξαιρετικά λεπτοδουλεμένο: σ’ αὐτό, σέ κανονικά διαστήματα ἔστεκαν στῆλες πού προειδοποιοῦσαν γιά τόν νόμο τῆς ἁγνότητας, ἄλλες μέ Ἑλληνικά κι ἄλλες μέ Ρωμαϊκά γράμματα, ὁ ὁποῖος δέν ἐπέτρεπε τήν εἴσοδο στό ἅγιο σέ κανέναν ἀλλόφυλο, γιατί τό δεύτερο ἱερό ὀνομαζόταν Ἅγιο. Ἀπό τό πρῶτο, ἀνέβαινες σ’ αὐτό μέ δεκατέσσερα σκαλιά. Τό ἐπάνω μέρος ἦταν τετράγωνο καί περιφραγμένο μέ δικό του τεῖχος. Αὐτοῦ τοῦ τείχους τό ἐξωτερικό ὕψος, μολονότι ἦταν σαράντα πήχεις, καλυπτόταν ἀπό τά σχαλιά, ἐνῶ ἀπό μέσα τό ὕψος του ἦταν εἴκοσι πέντε πήχεις, κι ἐπειδή ἡ σκάλα ἦτανχτισμένη πάνω σέ ἀνωφερές ἔδαφος, δέν φαινόταν ὁλόκληρο τό ὕψος ἀπό μέσα καθώς τό κάλυπτε ὁ λόφος. Μετά τά δεκατέσσερα σκαλιά ἡ ἀπόσταση μέχρι τό τεῖχος ἦταν δέκα πήχεις, ἰσόπεδη. Ἀπό ἐκεῖ, ἄλλες πάλι κλίμακες πέντε βαθμίδων ἀνέβαζαν στίς πύλες, οἱ ὁποῖες ἦταν ὀκτώ στή βόρεια καί τήν νότια πλευρά, τέσσερις στήν καθεμιά, καί δυό στήν ἀνατολική, ἀναγκαστικά, διότι, ἐπειδή σ’ αὐτό τό τμῆμα εἶχε περιτειχιστεῖ ἰδιαίτερος χῶρος γιά νά ἐκτελοῦν οἱ γυναῖκες τά θρησκευτικά τους καθήκοντα, χρειαζόταν καί δεύτερη πύλη, πού εἶχε κοπεῖ ἀπέναντι ἀπό τήν πρώτη. Καί στίς ἄλλες πλευρές ὑπῆρχε μία πύλη μεσημβρινή καί μία βόρεια πού ὁδηγοῦσε στόν γυναικωνίτη, γιατί οἱ γυναῖκες δέν ἐπιτρεπόταν νά περάσουν ἀπό τίς ἄλλες κι οὔτε ἀπό τή δική τους νά περάσουν πέρα ἀπό τόν διαχωριστικό τοῖχο. Τοῦτος ὅμως ὁ χῶρος ἦταν ἀνοιχτός γιά προσευχή, τόσο στίς ντόπιες ὅσο καί στίς Ἰουδαῖες τοῦ ἐξωτερικοῦ. Τό δυτικό μέρος δέν εἶχε πύλη, καί τό τείχας ἦταν συνεχόμενο. Οἱ στοές ἀνάμεσα στίς πύλες, στήν ἐσωτερική πλευρά τοῦ τείχους μπρός στά θησαυροφυλάκια, ὑποβαστάζονταν ἀπό πανέμορφους καί μεγάλους κίονες καί ἦταν ἁπλές, χωρίς νά

ὑστεροῦν σέ τίποτα, ἐκτός ἀπό τό μέγεθος, τῶν κάτω.

Ἀπό τίς πύλες, οἱ ἐννέα ἦταν ὁλόκληρες ἐπικαλυμμένες ἀπό χρυσό καί ἄργυρο, τό ἴδιο καί οἱ παραστάδες καί τά ὑπέρθυρα, ἐνῶ ἡ μία ἔξω ἀπό τόν Ναό ἦταν ἀπό κόρινθιακό χαλκό καί ξεπερνοῦσε σέ τιμή κατά πολύ τίς ἐπάργυρες καί τίς ἐπίχρυσες. Κάθε πυλώνας εἶχε δυό θῦρες, πού τό ὕψος τῆς καθεμιᾶς ἦταν τριάντα πήχεις καί τό πλάτος της δεκαπέντε. Μετά τίς θύρες, οἱ πυλῶνες πλάταιναν πρός τά μέσα, σχηματίζοντας ὁ καθένας πυργοειδεῖς στοές πλάτους καί μήκους τριάντα πήχεων καί ὕψους πάνω ἀπό σαράντα πήχεις, πού καθεμιά τους στήριζαν ἀπό δυό κίονες μέ περίμετρο δώδεκα πήχεις. Ἴδιες ἦταν καί οἱ διαστάσεις τῶν ὑπολοίπων πυλῶν, ἀλλά ἐκείνη πού ἄνοιγε ἀπό τόν γυναικωνίτη, πέρα ἀπό τήν Κορινθιακή πύλη, πρός ἀνατολάς, ἀπέναντι ἀπό τήν πύλη τοῦ Ναοῦ, ἦταν πολύ μεγαλύτερη, ἔχοντας ὕψος πενήντα πήχεις, θύρες σαράντα πῆχες καί πολυτελέστερη διακόσμηση, ἐπικαλυμμένη μέ πλάκες ἀργύρου καί χρυσοῦ μεγάλου πάχους. Τίς ἐννέα πύλες ἐπικάλυψε μέ χρυσό ὁ πατέρας τοῦ Τιβέριου Ἀλέξανδρος. Δεκαπέντε σκαλοπάτια ὁδηγοῦσαν ἀπό τό χώρισμα τῶν γυναικῶν πρός τή μεγαλύτερη πύλη, πού ἦταν ὅμως βραχύτερα ἀπό τά πέντε πού ὁδηγοῦσαν στίς ἄλλες πύλες.
Στόν ἴδιο τόν Ναό, στό ἅγιο ἱερό, πού βρισκόταν στή μέση ὁδηγοῦσαν δώδεκα σκαλιά. Ἡ πρόσοψή του εἶχε ὕψος καί πλάτος ἀπό ἑκατό πήχεις, ἀλλά τό κτίριο ἀπό πίσω ἦταν στενότερο κατά σαράντα πήχεις, ἔχοντας ἐμπρός του [προπύλαια] πού ἐκτεινόταν δεξιά καί ἀριστερά, σάν ὦμοι, κατά εἴκοσι πήχεις. Ἡ πρώτη του πύλη, μέ ὕψος καί πλάτος ἀπό εἴκοσι πέντε πήχεις, δέν εἶχε θύρες, καθώς ἔδειχνε τό ἀφανές καί ἀναπόκλειστο τοῦ οὐρανοῦ: ὁλόκληρη ἡ πρόσοψή της ἦταν ἐπιχρυσωμένη καί μέσα ἀπ’ αὐτήν, ἀπό ἔξω, ἔβλεπε κανείς πόσο μεγαλειῶδες ἦταν τό πρῶτο οἴκημα καί τά περί τήν ἐσωτερική πύλη νά ἀστράφτουν ἀπό τό χρυσάφι. Ἀπό τόν ἴδιο τόν Ναό, πού μέσα ἦταν διώροφος μόνο τό πρῶτο οἴκημα φαινόταν ἀπό ἔξω ἐνιαῖο ἀπό κάτω μέχρι ἐπάνω, φτάνοντας σέ ὕψος ἐνενήντα πήχεων, μῆκος πενήντα καί πλάτος εἴκοσι. Ἡ πύλη πού ὁδηγοῦσε στό κτίριο ἦταν ἐπίχρυση, ὅπως εἶπα, καθώς καί ὁλόκληρος ὁ τοῖχος πέριξ αὐτῆς, καί πάνω της εἶχε τίς χρυσές ἀμπέλους ἀπό τίς ὁποῖες κρέμονταν βότρυες σέ μέγεθος ἀνθρώπου. Καθώς, ὅμως, ὁ Ναός ἦταν διώροφος, ἀπό μέσα φαινόταν πιό χαμηλός ἀπό ὅτι ἀπό ἔξω καί εἶχε θύρες χρυσές μέ ὕψος πενῆντα πέντε πήχεις καί πλάτος δεκαέξι. Ἐμπρός τους ἔπεφτε πέτασμα τοῦ ἰδίου μήκους, πού ἦταν ὑφασμένο στή Βαβυλώνα, ποικιλμένο μέ κυανό χρῶμα καί λεπτό λινό, μέ κόκκινο καί πορφυρό, ἐξαίσια δουλεμένο καί χωρίς ἡ μείξη τῶν ὑλικῶν νά εἶναι ἄνευ σημασίας, γιατί ἀπέδιδε τήν εἰκόνα τοῦ παντός. Διότι τό κόκκινο θεωρεῖτο πώς συμβόλιζε τή φωτιά, τό λινό τή γῆ, τό κυανό τόν ἀέρα καί τό πορφυρό τή θάλασσα, ὅπου τά δυό παρομοιάζονταν ἕνεκα τοῦ χρώματος, ἐνῶ τό λινό καί τό πορφυρό ἕνεκα τῆς προέλευσής τους, ἐπειδή τό ἕνα τό βγάζει ἡ γῆ καί τό ἄλλο ἡ θάλασσα. Πάνω σ’ αὐτό τό ὕφασμα ἀποτυπωνόταν ὅλος ὁ οὐράνιος θόλος, ἐκτός ἀπό τά ζώδια.

Περνώντας στό ἐσωτερικό, βρισκόσουν στό κάτω τμῆμα τοῦ Ναοῦ. Αὐτό εἶχε ὕψος ἑξῆντα πήχεις καί μῆκος τό ἴδιο, ἐνῶ τό πλάτος τοῦ ἦταν εἴκοσι πήχεις. Ἀλλά καί τό τμήμα τῶν ἑξήντα πήχεων πάλι χωριζόταν, τό πρῶτο μέρος του, κομμένο στίς σαράντα πήχεις, περιεῖχε τά τρία θαυμασιότερα καί πλέον περιβόητα στήν ἀνθρωπότητα ἔργα, λυχνία, τράπεζα καί βωμό θυμιάματος.Οἱ ἑπτά λύχνοι, γιατί τόσους εἶχε ἡ λυχνία, συμβόλιζαν τούς πλανῆτες, ἐνῶ οἱ δώδεκα ἄρτοι πάνω στήν τράπεζα τόν ζωδιακό κύκλο καί τό ἔτος. Ὁ βωμός μέ τά δεκατρία θυμιάματα, ἀπό τή θάλασσα καί τή γῆ, ἀοίκητη καί οἰκουμένη, σήμαινε πώς τά πάντα εἶναι ἀπό τόν Θεό καί γιά τόν Θεό.
Τό ἐσώτατο μέρος ἦταν εἰκοσάπηχο καί χωριζόταν κι αὐτό ἀπό τό ἐξωτερικό μέ πέτασμα. Μέσα σ’ αὐτά δέν ὑπῆρχε τίποτα, ἦταν ἄβατό, ἄχραντο καί ἀθέατο γιά ὅλους καί λεγόταν «Ἅγιο τοῦ Ἁγίου». Στίς πλευρές τοῦ κάτω ναοῦ ὑπῆρχαν στή σειρά τρίπατα οἰκήματα˙ οἱ εἴσοδοι στό καθένα ἀπό αὐτά ἦταν ἀπό τήν πύλη. Τό ὑπερῶο τοῦ κτίσματος δέν περιλάμβανε τοῦτα τά κτίρια, στόν βαθμό πού ἦταν πιό στενό, εἶχε ὕψος σαράντα πήχεις καί ἦταν πιό λιτό ἀπό τό κάτω˙ ἄν προστεθεῖ στούς ἑξήντα πήχεις τοῦ ἰσογείου, τότε τό συνολικό ὕψος φτάνει στούς ἑκατό πήχεις.

Ἀπό τήν ἐξωτερική ἐμφάνιση τοῦ κτιρίου δέν ἔλειπε τίποτα ἀπό ὅσα ἐντυπωσιάζουν τήν ψυχή καί τά μάτια. Καθώς ἦταν καλυμμένο παντοῦ μέ χοντρές πλάκες χρυσοῦ, ἀπό τή στιγμή πού ἔβγαινε ὁ ἥλιος ἀντανακλοῦσε τόσο δυνατά τή λάμψη πού ἀκόμα κι ἐκεῖνοι πού ἔβαζαν τά δυνατά τους νά τό ἀντικρίσουν ἀπέστρεφαν τά μάτια ὡσάν ἀπό τόν ἥλιο. Στούς ξένους πού πλησίαζαν ἀπό μακριά, ὁ ναός ἔμοιαζε μέ χιονισμένο ὄρος, μιᾶς κι ὅ,τι δέν ἦταν χρυσό ἦταν ὁλόλευκο. Στήν κορυφή τοῦ ἦταν καρφωμένοι χρυσοί ὀβελοί, γιά νά ἐμποδίζουν τά πουλιά νά κάθονται καί νά τόν μολύνουν. Μερικοί ἀπό τούς ὀγκόλιθους πού ἦταν κτισμένο τό κτίριο εἶχαν μῆκος σαράντα πέντε πήχεις, ὕψος πέντε καί φάρδος ἕξι. Ἐμπρός του ἔστεκε ὁ βωμός, ὕψους δεκαπέντε πήχεων, τετράγωνος, με μῆκος καί πλάτος ἀπό πενῆντα πήχεις, μέ κερατοειδεῖς προεξοχές στίς γωνίες. Μιά σκάλα μέ ὁμαλή κλίση ἀνέβαινε σ’ αὐτόν ἀπό τή νότια πλευρά. Κατασκευάστηκε χωρίς σιδερένια ἐργαλεῖα καί οὐδέποτε τόν ἄγγιξε σίδερο. Τόσο τό ἱερό ὅσο καί τόν βωμό περιέβαλε ἕνα πέτρινο κράσπεδο καλοφτιαγμένο καί ὅμορφο, ὕψους ἑνός πήχη, πού χώριζε τόν λαό ἀπό τούς ἱερεῖς. Γιά ἄτομα μέ γονόρροια ἤ λέπρα ἦταν ἀπαγορευμένη ὁλόκληρη ἡ πόλη, ἐνῶ ἀπό τό ἱερό ἀποκλείονταν οἱ γυναῖκες τήν περίοδο τῶν ἐμμήνων τους, ἀλλά καί ὅταν περνοῦσε καί ἦταν καθαρές δέν ἐπιτρεπόταν νά περάσουν τό ὅριο πού εἴπαμε πιό πάνω. Ἄντρες πού δέν ἦταν σέ κατάσταση πλήρους ἁγνότητας ἀποκλείονταν ἀπό τήν ἐσωτερική αὐλή, ἀπό τήν ὁποία ἀποκλείονταν καί οἱ ἱερεῖς πού ὑφίσταντο καθαρμό.
Ὅσοι εἶχαν ἱερατική καταγωγή, ἀλλά δέν λειτουργοῦσαν λόγω κάποιας ἀναπηρίας, ἐπιτρεπόταν νά περάσουν μαζί μέ τούς ἀρτιμελεῖς μέσα ἀπό τό κράσπεδο καί νά

λαμβάνουν τίς μερίδες πού τούς ὀφείλονταν ἐκ καταγωγῆς, ἀλλά φοροῦσαν ροῦχα ἰδιώτη, γιατί τήν ἱερή ἐσθήτα τήν φοροῦσε μόνο ὁ ἱερέας πού λειτουργοῦσε. Οἱ ἄμωμοι ἱερεῖς ἀνέβαιναν στόν βωμό καί στό ἱερό, ντυμένοι μέ λεπτό λινό, ἀπέχοντας ἐπιμελῶς ἀπό τό δυνατό κρασί φοβούμενοι γιά τήν τελετή, μήπως κάνουν κάποιο λάθος κατά τή λειτουργία. Ὁ ἀρχιερέας τούς συνόδευε ἀλλά ὄχι πάντα, μόνο κατά τίς ἕβδομες ἡμέρες, τίς νουμηνίες καί σέ κάθε ἐθνική ἑορτή ἤ ἐτήσια πανήγυρη ὅλου τοῦ λαοῦ. Κατά τή λειτουργία φοροῦσε περισκελίδες πού κάλυπταν τούς μηρούς μέχρι τά γεννητικά ὄργανα, ἀπό μέσα λινό κολόβιο κι ἀπό πάνω κυανό, μακρύ μέχρι τά πόδια ἔνδυμα καλοφτιαγμμένο καί θυσανωτό˙ ἀπό τούς θυσάνους κρέμονταν ἐναλλάξ κουδούνια χρυσά καί ρόδια, σημάδια τῆς βροντῆς τά κουδούνια, τῆς ἀστραπῆς τά ρόδια. Ἡ κεντημένη ταινία πού συγκρατοῦσε τό ἔνδυμα στό στέρνο ἀποτελοῦνταν ἀπό πέντε ζῶνες διαφορετικοῦ χρώματος, χρυσοῦ, πορφυροῦ, κόκκινου, λινοῦ καί κυανοῦ, μέ τά ὁποῖα, ὅπως εἴπαμε, ἦταν ὑφασμένα καί τά πετάσματα τοῦ ναοῦ. Φτιαγμένη μέ ἀνάμειξη τούτων τῶν ὑλικῶν φοροῦσε καί ἐπωμίδα, πού κατά κύριο λόγο ἦταν χρυσή. Εἶχε σχήμα κανονικοῦ θώρακα καί τήν κούμπωναν δυό χρυσές ἀσπιδίσκες δεμένες μέ ὡραιότατους καί μεγάλους σαρδόνυχες, πάνω στούς ὁποίους ἦταν σκαλισμένα τά ὀνόματα ἐκείνων πού εἶχαν δώσει τ’ ὄνομά τους στίς φυλές τοῦ ἔθνους. Ἀπό τήν ἄλλη πλευρά, ἦταν προσαρτημένοι ἄλλοι δώδεκα λίθοι, χωρισμένοι ἀνά τρεῖς σέ τέσσερα μέρη: σάρδιο, τοπάζι, σμάραγδος˙ ἄνθρακας, ἴασπις, σάπφειρος˙ ἀχάτης, ἀμέθυστος, λιγύριο˙ ὄνυχας, βήρυλλος, χρυσόλιθος, καί στόν καθένα ἀπό αὐτούς ἦταν πάλι χαραγμένο τό ὄνομα κάθε ἀρχηγοῦ φυλῆς. Τό κεφάλι σκέπαζε λινή καλύπτρα πού τή στεφάνωνε κυανή ταινία, γύρω ἀπό τήν ὁποία ὑπῆρχε ἄλλο στεφάνι πού ἔφερε ἀνάγλυφα τά ἱερά γράμματα˙ αὐτά εἶναι τέσσερα φωνήεντα. Αὐτή τήν ἐνδυμασία δέν τήν φοροῦσε συνέχεια, φοροῦσε μία πιό λιτή, ἀλλά μόνο ὅποτε εἰσερχόταν στό ἄδυτο˙ στό ἄδυτο ἔμπαινε μόνος μία φορά τόν χρόνο, τήν ἡμέρα πού κατά τό ἔθιμο ἔπρεπε νά νηστεύουν ὅλοι γιά τόν Θεό. Γιά τήν πόλη καί τόν Ναό, καθώς καί γιά τά περί αὐτά ἔθιμα καί νόμους θά μιλήσουμε μέ μεγαλύτερη ἀκρίβεια στή συνέχεια, καθώς δέν εἶναι καί λίγα ὅσα ἀπομένουν νά εἰπωθοῦν περί αὐτῶν.

Ἡ Ἀντωνία ἔστεκε στή γωνία πού σχημάτιζαν οἱ δυό στοές, ἡ δυτική καί ἡ βόρεια, τοῦ πρώτου περιβόλου τοῦ Ναοῦ, καί ἦταν κτισμένη πάνω σέ βράχο ὕψους πενῆντα πήχεων, ἀπόκρημνο ἀπό ὅλες τίς πλευρές. Ἦταν ἔργο τοῦ βασιλιά Ἡρώδη, στό ὁποῖο ἀπέδειξε κατά κύριο λόγο τό μεγαλεῖο τῆς ἰδιοφύιας του. Διότι, κάτ ἀρχήν, ὁ βράχος καλύφθηκε ἀπό τή ρίζα μέ πέτρινες λειασμένες πέτρες, τόσο γιά ἐξωραϊσμό ὅσο καί γιά νά γλιστράει ὅποιος πήγαινε ν’ ἀνέβει ἤ νά κατέβει. Ἔπειτα, πρίν ἀπό τό ἴδιο τό κτίσμα, ὑπῆρχε τεῖχος ὕψους τριῶν πήχεων καί πίσω ἀπό αὐτό, ὀρθωνόταν ὁ κύριος ὄγκος τῆς Ἀντωνίας σέ ὕψος σαράντα πήχεων. Τό ἐσωτερικό ἔμοιαζε μέ παλάτι, τόσο στούς χώρους ὅσο καί στή διάταξη, γιατί ἦταν

χωρισμένο σέ κάθε εἴδους διαμερίσματα καί γιά κάθε χρήση, μέ περίστοα, λουτρά καί ἁπλόχωρες αὐλές γιά στρατοπεδεύσεις, τόσο πού διαθέτοντας ὅλα τά χρειώδη ἔμοιαζε μέ πόλη, ἐνῶ στήν πολυτέλεια ἔμοιαζε μέ ἀνάκτορο. Τό σχῆμα του συνολικά ἦταν πυργοειδές μέ τέσσερις ἄλλους πύργους στήν καθεμιά ἀπό τίς γωνίες. Οἱ τρεῖς ἀπ' αὐτούς εἶχαν ὕψος πενῆντα πήχεων, ἐνῶ ὁ τέταρτος στή νότιο-δυτική γωνία ἑβδομήντα, παρέχοντας ἔτσι πλήρη θέα τοῦ Ναοῦ. Στό σημεῖο πού συναντιόταν μέ τίς στοές τοῦ Ναοῦ εἶχε σκάλες πού κατέβαζαν σ' αὐτές, ἀπό ὅπου κατέβαιναν οἱ φρουροί, γιατί ἦταν ἐκεῖ συνέχεια ἐγκατεστημένη μία κοόρτις Ρωμαίων, πού στις γιορτές ἔπαιρναν θέση στίς στοές ἔνοπλοι καί παρακολουθοῦσαν τόν λαό μήπως ἐκδηλωθεῖ ἐξέγερση. Ἄν ὁ Ναός δέσποζε φρούριο πάνω στήν πόλη, στόν Ναό δέσποζε ἡ Ἀντωνία, κι ὅσοι βρίσκονταν σ' αὐτή ἦταν φύλακες καί τῶν τριῶν ἰδιαίτερο φρούριο γιά τήν ἄνω πόλη ἦταν τά ἀνάκτορα τοῦ Ἡρώδη. Ὁ λόφος Βεζεθά, ὅπως εἶπα, ἦταν ἀποκομμένος ἀπό τήν Ἀντωνία˙ ψηλότερος ἀπό ὅλους, εἶχε κατοικηθεῖ καί ἀποτελοῦσε μέρος τῆς νέας πόλης, ἦταν ὁ μόνος πού ἐμπόδιζε τή θέα τοῦ Ναοῦ ἀπό βορρᾶ. Δεδομένου ὅτι προτίθεμαι νά μιλήσω μέ μεγαλύτερη ἀκρίβεια γιά τήν πόλη καί τά τείχη στή συνέχεια, ἐπί τοῦ παρόντος ἀρκοῦν τά μέχρις ἐδῶ»
Κείμενο

«Τὸ δ' ἱερὸν ἵδρυτο μέν, ὥσπερ ἔφην, ἐπὶ λόφου καρτεροῦ, κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτοῦ τῷ τε ναῷ καὶ τῷ βωμῷ: τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατάντης. Τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισεν, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐπετέθη μία στοὰ τῷ χώματι: καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. τοῖς δ' ἑξῆς αἰῶσιν ἀεί τι τοῦ λαοῦ προσχωννύντος ἀνισούμενος ὁ λόφος ηὐρύνετο. Διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος τοσοῦτον προσελάμβανον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. Τειχίσαντες δ' ἐκ ῥίζης τριχῆ κυκλόθεν τὸν λόφον καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον, εἰς ὃ μακροὶ μὲν ἐξαναλώθησαν αἰῶνες αὐτοῖς καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ θεῷ, τούς τε ἄνω περιβόλους καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. Τούτου τὸ ταπεινότατον ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους καὶ πλείονος. οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων: ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεος. [189] πέτραι δὲ τεσσαρακονταπήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος: ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων καὶ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἔξειν πέρας ἐπιμονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

Ἦν δὲ ἄξια τῶν τηλικούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν ἔργα διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δ' αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ἐφεστήκεσαν μονόλιθοι λευκοτάτης μαρμάρου, κεδρίνοις δὲ φατνώμασιν ὠρόφωντο. Τούτων ἡ μὲν φυσικὴ

πολυτέλεια καὶ τὸ εὔξεστον καὶ τὸ ἁρμόνιον παρεῖχε θεωρίαν ἀξιόλογον, οὐδενὶ δὲ ἔξωθεν οὔτε ζωγραφίας οὔτε γλυφίδος ἔργῳ προσηγλάιστο. Καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις, ὁ δὲ πᾶς κύκλος αὐτῶν εἰς ἓξ σταδίους συνεμετρεῖτο περιλαμβανομένης καὶ τῆς Ἀντωνίας: τὸ δ’ ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῷ λίθῳ κατεστρωμένον. Διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱερὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος, πάνυ δὲ χαριέντως διειργασμένος: ἐν αὐτῷ δὲ εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι τὸν τῆς ἁγνείας προσημαίνουσαι νόμον αἱ μὲν Ἑλληνικοῖς αἱ δὲ Ῥωμαϊκοῖς γράμμασιν μηδένα ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι: Τὸ γὰρ δεύτερον ἱερὸν ἅγιον ἐκαλεῖτο. καὶ τεσσαρεσκαίδεκα [μὲν] βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει περιπεφραγμένον ἰδίῳ. Τούτου τὸ μὲν ἔξωθεν ὕψος καίπερ τεσσαράκοντα πηχῶν ὑπάρχον ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο, τὸ δὲ ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν: πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένου τοῦ βαθμοῦ οὐκέτ’ ἦν ἅπαν εἴσω καταφανὲς καλυπτόμενον ὑπὸ τοῦ λόφου. Μετὰ δὲ τοὺς δεκατέσσαρας βαθμοὺς τὸ μέχρι τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. Ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας, αἳ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτώ, καθ’ ἑκάτερον τέσσαρες, δύο δ’ ἦσαν ἐξ ἀνατολῆς κατ’ ἀνάγκην: διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου ἔδει δευτέραν εἶναι πύλην: τέτμητο δ’ αὕτη τῆς πρώτης ἄντικρυς. Κἀκ τῶν ἄλλων δὲ κλιμάτων μία μεσημβρινὴ πύλη καὶ μία βόρειος, δι’ ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον: κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελθεῖν γυναιξίν, ἀλλ’ οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. ἀνεῖτό γε μὴν ταῖς τ’ ἐπιχωρίοις καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. Τὸ δὲ πρὸς δύσιν μέρος οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ τοῦ τείχους ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλακίων σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν, ἦσαν δ’ ἁπλαῖ, καὶ πλὴν τοῦ μεγέθους τῶν κάτω κατ’ οὐδὲν ἀπελείποντο.

Τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκαλυμμέναι πανταχόθεν ἦσαν ὁμοίως τε αἵ τε παραστάδες καὶ τὰ ὑπέρθυρα, μία δ’ ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. Καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα. Μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι παρ’ ἑκάτερον τριακονταπήχεις ἐξέδρας εἶχον εὖρός τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλὰς δ’ ὑπὲρ τεσσαράκοντα πήχεις: δύο δ’ ἀνεῖχον ἑκάστην κίονες δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. Καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος, ἡ δ’ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ πολὺ μείζων: Πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάστασιν τεσσαρακονταπήχεις τὰς θύρας εἶχε καὶ τὸν κόσμον πολυτελέστερον ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ. τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. Βαθμοὶ δὲ δεκαπέντε

πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον: τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.

Αὐτὸς δὲ ὁ ναὸς κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερόν, δώδεκα βαθμοῖς ἦν ἀναβατός, καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος ἴσον ἀνὰ πήχεις ἑκατόν, κατόπιν δὲ τεσσαράκοντα πήχεσι στενότερος: ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ’ ἑκάτερον εἰκοσαπήχεις διέβαινον. Ἡ πρώτη δ’ αὐτοῦ πύλη πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα καὶ εὖρος εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε: τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε: κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι’ αὐτῆς ὅ τε πρῶτος οἶκος ἔξωθεν πᾶς κατεφαίνετο μέγιστος ὤν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα χρυσῷ τοῖς ὀρῶσιν ὑπέπιπτεν. Τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου μόνος ὁ πρῶτος οἶκος προύκειτο καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπ’ ἐνενήκοντα πήχεις, μηκυνόμενος δὲ ἐπὶ πεντήκοντα καὶ διαβαίνων ἐπ’ εἴκοσιν. Ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μέν, ὡς ἔφην, πᾶσα καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος, εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους, ἀφ’ ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. Ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξωθεν ὄψεως ἡ ἔνδον ἦν καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πήχεων τὸ ὕψος εὖρος δ’ ἑκκαίδεκα. Πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ’ ὥσπερ εἰκόνα τῶν ὅλων: Ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δ’ ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν, τῶν μὲν ἐκ τῆς χροίας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δ’ ἡ θάλασσα. Κατεγέγραπτο δ’ ὁ πέπλος ἅπασαν τὴν οὐράνιον θεωρίαν πλὴν ζῳδίων.

Παριόντας δ’ εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέχετο. τούτου τοίνυν τὸ μὲν ὕψος ἑξήκοντα πηχῶν καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. Τὸ δ’ ἑξηκοντάπηχυ πάλιν διῄρητο, καὶ τὸ μὲν πρῶτον μέρος ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις εἶχεν ἐν αὐτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν τράπεζαν θυμιατήριον. Ἐνέφαινον δ’ οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλανήτας: τοσοῦτοι γὰρ ἀπ’ αὐτῆς διῄρηντο τῆς λυχνίας: οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα τὸν ζῳδιακὸν κύκλον καὶ τὸν ἐνιαυτόν. Τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο καὶ τῆς τε ἀοικήτου καὶ οἰκουμένης, ἐσήμαινεν ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. Τὸ δ’ ἐνδοτάτω μέρος εἴκοσι μὲν πηχῶν ἦν: διείργετο δὲ ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο δὲ οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. Περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι’ ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ’ ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. Τὸ δ’ ὑπερῷον μέρος τούτους μὲν οὐκέτι εἶχεν τοὺς οἴκους παρόσον ἦν καὶ

στενότερον, ὑψηλὸν δ’ ἐπὶ τεσσαράκοντα πήχεις καὶ λιτότερον τοῦ κάτω: συνάγεται γὰρ οὕτως πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

Τὸ δ’ ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτ’ εἰς ψυχῆς οὔτ’ εἰς ὀμμάτων ἔκπληξιν ἀπέλειπεν: πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν ὑπὸ τὰς πρώτας ἀνατολὰς πυρωδεστάτην ἀπέπαλλεν αὐγὴν καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεφεν. Τοῖς γε μὴν ἀφικνουμένοις ξένοις πόῤῥωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο: καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότατος ἦν. Κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχεν τεθηγμένους, ὡς μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. τῶν δ’ ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πέντε, εὖρος δ’ ἕξ. Πρὸ αὐτοῦ δ’ ὁ βωμὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πήχεων, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον ἀνὰ πεντήκοντα πήχεις τετράγωνος ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ’ αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. κατεσκευάσθη δὲ ἄνευ σιδήρου, καὶ οὐδέποτ’ ἔψαυεν αὐτοῦ σίδηρος. Περιέστεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χαρίεν γείσιον ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν ἱερέων. Γονοῤῥοίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη, τὸ δ’ ἱερὸν γυναικῶν ἐμμήνοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπαμεν ὅρον. ἀνδρῶν δ’ οἱ μὴ καθάπαν ἡγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ [μὴ] καθαρεύοντες εἴργοντο.

Τῶν δ’ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούργουν παρῆσάν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γείσίου καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθῆσιν ἰδιωτικαῖς ἐχρῶντο: τὴν γὰρ ἱερὰν ὁ λειτουργῶν ἠμφιέννυτο μόνος. Ἐπὶ δὲ τὸ θυσιαστήριον καὶ τὸν ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχόμενοι, μάλιστα δὲ ἀπὸ ἀκράτου νήφοντες δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. Ὁ δὲ ἀρχιερεὺς ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ’ οὐκ ἀεί, ταῖς δ’ ἑβδομάσι καὶ νουμηνίαις καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις ἦν πάνδημος ἀγομένη δι’ ἔτους. Ἐλειτούργει δὲ τοὺς μηροὺς μέχρις αἰδοίου διαζώματι καλύπτων λινοῦν τε ὑποδύτην ἔνδοθεν λαμβάνων καὶ ποδήρη καθύπερθεν ὑακίνθινον, ἔνδυμα στρογγύλον θυσανωτόν: τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες χρύσεοι καὶ ῥοαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες, ἀστραπῆς δ’ αἱ ῥοαὶ σημεῖον. Ἡ δὲ τὸ ἔνδυμα τῷ στέρνῳ προσηλοῦσα ταινία πέντε διηνθισμένη ζώναις πεποίκιλτο, χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου πρὸς δὲ βύσσου καὶ ὑακίνθου, δι’ ὧν ἔφαμεν καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συνυφάνθαι. Τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλείων χρυσὸς ἦν. σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν, δύο δ’ αὐτὴν ἐνεπόρπων ἀσπιδίσκαι χρυσαῖ, κατεκέκλειντο δ’ ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδόνυχες, τοὺς ἐπωνύμους τῶν τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμέναι. Κατὰ δὲ θάτερον ἄλλοι προσήρτηντο λίθοι δώδεκα, κατὰ τρεῖς εἰς τέσσαρα μέρη διῃρημένοι, σάρδιον τόπαζος σμάραγδος, ἄνθραξ

ἴασπις σάπφειρος, ἀχάτης ἀμέθυστος λιγύριον, ὄνυξ βήρυλλος χρυσόλιθος, ὧν ἐφ’ ἑκάστου πάλιν εἷς τῶν ἐπωνύμων ἐγέγραπτο. Τὴν δὲ κεφαλὴν βυσσίνη μὲν ἔσκεπεν τιάρα, κατέστεπτο δ’ ὑακίνθῳ, περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος ἔκτυπα φέρων τὰ ἱερὰ γράμματα: ταῦτα δ’ ἐστὶ φωνήεντα τέσσαρα. Ταύτην μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει χρόνιον, λιτοτέραν δ’ ἀνελάμβανεν, ὁπότε δ’ εἰσίοι εἰς τὸ ἄδυτον: εἰσῄει δ’ ἅπαξ κατ’ ἐνιαυτὸν μόνος ἐν ᾗ νηστεύειν ἔθος ἡμέρᾳ πάντας τῷ θεῷ. Καὶ τὰ μὲν περὶ τῆς πόλεως καὶ τοῦ ναοῦ τῶν τε περὶ τοῦτον ἐθῶν καὶ νόμων αὖθις ἀκριβέστερον ἐροῦμεν: οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος.

Ἡ δ’ Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἄρκτον, δεδόμητο δὲ ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν ὕψος, περικρήμνου δὲ πάσης: ἔργον δ’ ἦν Ἡρώδου τοῦ βασιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. Πρῶτον μὲν γὰρ ἐκ ῥίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο λείαις λίθων, εἴς τε κάλλος καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν ἢ κατιέναι πειρώμενος. Ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως τριῶν πηχῶν τεῖχος ἦν, ἐνδοτέρω δὲ τούτου τὸ πᾶν ἀνάστημα τῆς Ἀντωνίας ἐπὶ τεσσαράκοντα πήχεις ἠγείρετο. Τὸ δ’ ἔνδον βασιλείων εἶχε χώραν καὶ διάθεσιν: μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν τε καὶ χρῆσιν περίστοά τε καὶ βαλανεῖα καὶ στρατοπέδων αὐλαῖς πλατείαις, ὡς τῷ μὲν πάντ’ ἔχειν τὰ χρειώδη πόλις εἶναι δοκεῖν, τῇ πολυτελείᾳ δὲ βασίλειον. Πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα κατὰ γωνίαν τέσσαρσιν ἑτέροις διείληπτο πύργοις, ὧν οἱ μὲν ἄλλοι πεντήκοντα τὸ ὕψος, ὁ δ’ ἐπὶ τῇ μεσημβρινῇ καὶ κατὰ ἀνατολὴν γωνίᾳ κείμενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ’ αὐτοῦ τὸ ἱερόν. Καθὰ δὲ συνῆπτε ταῖς τοῦ ἱεροῦ στοαῖς εἰς ἀμφοτέρας εἶχε καταβάσεις, δι’ ὧν κατῄεσαν οἱ φρουροί: καθῆστο γὰρ [ἀεὶ] ἐπ’ αὐτῆς τάγμα Ῥωμαίων, καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων ἐν ταῖς ἑορταῖς τὸν δῆμον, ὡς μή τι νεωτερισθείη, παρεφύλαττον: φρούριον γὰρ ἐπέκειτο τῇ πόλει μὲν τὸ ἱερόν, τῷ ἱερῷ δ’ ἡ Ἀντωνία, κατὰ δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν: καὶ τῆς ἄνω δὲ πόλεως ἴδιον φρούριον ἦν τὰ Ἡρώδου βασίλεια. Ἡ Βεζαθὰ δὲ λόφος διῄρητο μέν, ὡς ἔφην, ἀπὸ τῆς Ἀντωνίας, πάντων δ’ ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο. Καὶ μόνος τὸ ἱερὸν κατ’ ἄρκτον ἐπεσκότει. περὶ μὲν δὴ τῆς πόλεως καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἔκαστα προτεθειμένοις ἐπὶ τοῦ παρόντος ἀπόχρη»

(Ἰωσήπου, Ἰουδαϊκός Πόλεμος, Ἅπαντα 4, Ἱστορία Ἰουδαϊκοῦ Πολέμου πρός Ρωμαίους βιβλία Δ΄, Ε΄, (βιβλίο Ε΄ – v-1) Ἐκδόσεις «Κάκτος», Ἀθήνα 1997.

* * * * *

Ὁ Κύριος προεφήτευσε τήν καταστροφή τοῦ Ναοῦ λέγοντας στούς Μαθητές Του:

«Μή βλέπετε αὐτά δέν θά ἀφεθῆ λίθος ἐπί λίθον» (Ματθαίου κδ΄, 2)

«Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ ἐμοὶ λόγοι οὐ μὴ παρελεύσονται. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ» (Μάρκου ιγ΄, 30-32).

«Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου» (Ματθαίου κδ΄, 34-39)

Ὡς ἐδῶ, ὅπως θὰ ἔχη σημειώσει ὁ ἀναγνώστης, ἡ ὁμιλία δὲν ἔκανε κανένα ὑπαινιγμὸ στὸ χρόνο, ἀλλὰ μόνο στὰ σημεῖα τῆς «μεγάλης θλίψεως». Ὅτι ἔπειτα αὐτὴ ἀναφέρεται στὴν καταστροφὴ τοῦ Ναοῦ καὶ τῆς Ἱερουσαλήμ, ἀποδεικνύεται ἀπὸ τοὺς χρησιμοποιουμένους ὅρους καὶ ἐπὶ πλέον ἐπιβεβαιώθηκε ἀπὸ τὸ σπουλαῖο γεγογός, ὅτι ἀκόμα καὶ ὁ Φλάβιος Ἰώσηπος, ἀναλαμβάνοντας νὰ διηγηθῆ τὸ ἴδιο γεγονός, χρησιμοποιεῖ ὁμοιότατες ἐκφράσεις λέγοντας: «Τὰ γοῦν πάντων ἀπ᾽ αἰῶνος ἀτυχήματα πρὸς τὰ Ἰουδαίων ἡττᾶσθαί μοι δοκεῖ κατὰ σύγκρισιν», «Πράγματι, τὰ ἀτυχήματα ὅλων τῶν αἰώνων μοῦ φαίνονται νὰ μένουν ὑποδεέστερα συγκρινόμενα μὲ κεῖνα τῶν Ἰουδαίων» (Ἰουδαϊκός Πόλεμος 1, 12) καὶ χαρακτηρίζει ἀκόμα τὸν πόλεμο μεταξὺ τῆς Ῥώμης καὶ τῆς Ἰουδαίας «μέγιστον οὐ μόνον τῶν καθ’ ἡμᾶς, σχεδὸν δὲ καὶ ὧν ἀκοῇ παρειλήφαμεν ἢ πόλεων πρὸς πόλεις ἢ ἐθνῶν ἔθνεσι συρραγέντων» (Αὐτόθι 1, 1). Οὔτε εἶναι ἐμπόδιο ὁ ὅρος, ὅτι στὴν καταστροφὴ τοῦ Ναοῦ «εἰς πάντα τὰ ἔθνη πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον». Ὁ ἅγιος Παῦλος τὸ ἐβεβαίωνε ἐπίσης, σὰν τετελεσμένο γεγονός, πρὶν νὰ καταστραφῆ ἡ Ἱερουσαλὴμ. Τώρα, ἡ καταστροφὴ τῆς Ἱερουσαλὴμ ἔγινε σαράντα χρόνια μετὰ τὴν ὁμιλία, δηλαδὴ στὸ χρονικὸ διάστημα ποὺ οἱ Ἰουδαῖοι θεωροῦσαν μιὰ «γενεά». Βρίσκομε πράγματι ὅτι ὁ Ἰησοῦς στὴ συνέχεια- ὅταν τελείωσε νὰ περιγράφη τὰ σημεῖα καὶ πρόκειται νὰ μιλήση γιὰ τὸν χρόνο–βεβαιώνει: «᾽Αμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεά αὕτη, μέχρις οὗ ταῦτα πάντα γένηται» (Μάρκου ιγ΄, 30).

᾽Ερχόμενοι τώρα στὶς ἱστορικὲς ἐπιβεβαιώσεις βρίσκομε ὅτι, πρὸς τὸ τέλος τῶν σαράντα ἐτῶν, ἀνοίγει μιὰ περίοδος ποὺ χαρακτηρίσθηκε, ἀπὸ ἕνα Ρωμαῖο

ἱστορικὸ ποὺ τὴν γνώριζε ἀρκετὰ καλά, σὰν «γεμάτη ἀπὸ συμφορές, μαύρη ἀπὸ πολέμους, σπαρασσομένη ἀπὸ στάσεις, σκληρὴ ἀκόμα καὶ στὴν εἰρήνη. Τέσσερεις ἡγεμόνες φονεύθηκαν μὲ τὸ ξίφος (δηλ. ὁ Νέρων, ὁ Γάλβα, ὁ Ὄθων καὶ ὁ Βιτέλλιος). Τρεῖς ἐμφύλιοι πόλεμοι, περισσότεροι ἐξωτερικοὶ καὶ πλεῖστοι μικτοί, καὶ ὁ ἔλεγχος ἐξακολουθεῖ λεπτομερὴς προσθέτοντας – ἐκτὸς ἀπὸ τὶς ἀπειράριθμες συμφορὲς σὲ ἀνθρώπινα ζητήματα, παράξενα σημεῖα στὸν οὐρανὸ καὶ στήν γῆ καὶ προειδοποιήσεις μὲ ἀστραπὲς καὶ οἰωνισμοὺς μελλοντικῶν – γιὰ νὰ συμπεράνη μὲ μιὰ ἀπεγνωσμένη ἀπαισιοδοξία ὅτι «οἱ θεοὶ δὲν φροντίζουν γιὰ τὴν ἀσφάλειά μας, ἀλλὰ γιὰ τὴν ἐκδίκησι» (Τάκιτος Hist, 1 2, 3)

«Opimum casibus, atrox praeliis, discors seditionibus, ipsa etiam pace saevum. Quatuor principes ferro interempti… Trina bella. civilia, plura externa ac plerumque permixta… praeter multiplices rerum humanarum casus, coelo terraque prodigia et fulminum monitus et futurorum praesagia…non esse curae Deis securitatem nostram sed ultionem».

Ἐπίσης καὶ ὁ Φλάβιος Ἰώσηπος, ἀσχολούμενος εἰδικὰ μὲ τὴν Παλαιστίνη, μᾶς δίνει λεπτομερεῖς πληροφορίες γιὰ τὶς ἐσωτερικὲς ταραχὲς καὶ προπαντὸς γιὰ τὸν ἀναβρασμὸ τοῦ πολιτικοῦ μεσσιανισμοῦ ποὺ τυχαῖα ἐπανειλημμένως ἀναφέραμε. Τὸ συμπέρασμα ὅλων αὐτῶν ἦταν ἡ καταστροφὴ τοῦ 70, ὅπου τελείωσαν Ναός, πρωτεύουσα καὶ ἔθνος. Ὅσο γιὰ τοὺς μαθητὲς τοῦ Ἰησοῦ, κατὰ τὴ μεγάλη αὐτὴ «θλίψι» θὰ ὑποστοῦν μέσα καὶ ἔξω ἀπὸ τὴν Παλαιστίνη διωγμούς, τοὺς ὁποίους ἀναφέρουν τόσο οἱ Πράξεις καὶ ἄλλα συγγράμματα τῆς Καινῆς Διαθήκης, ὅσο καὶ οἱ ρωμαῖοι ἱστορικοί, διωγμοὺς τοὺς ὁποίους ὑπεκίνησαν εἴτε οἱ ὁμοεθνεῖς κι οἱ συγγενεῖς, εἴτε οἱ ξένοι καὶ οἱ εἰδωλολάτρες. Ἀλλὰ κεῖνοι ποὺ γλύτωσαν ἀπὸ τὶς ἀποπλανήσεις τῶν ψευδοπροφητῶν καὶ ἀπὸ τὶς βιαιότητες τῶν διωκτῶν, ὅταν εἶδαν τὸ Ναὸ τῆς Ἱερουσαλὴμ νὰ βεβηλώνεται ἀπ᾽ τοὺς αἱμοχαρεῖς Ζηλωτὲς (Ἰουδ. Πόλεμος 4, 151 καὶ συνέχ. 305 καὶ συνέχ. 381 καί συνέχ.), συμμορφώθηκαν μὲ τὴν ὑπόδειξι τῆς ἐσχατολογικῆς ὁμιλίας καὶ φεύγοντας ἀπὸ τὴν πόλι ἀπεσύρθηκαν στὴν Πέλλα τῆς Ὑπεριορδανίας, ὅπως διηγεῖται ὁ Εὐσέβιος (Ἐκκλ. Ἱστορ. 3, 5, 2-3)[1]

«᾽Απὸ ἕνα σπουδαῖο χωρίο τοῦ Φλαβίου Ἰωσήπου θὰ μποροῦσε κανεὶς νὰ ἐξαγάγη ὅτι ἀνάλογη ὑπόδειξις εἶχε μεταδοθῇ ἀπὸ τὴν παράδοσι τοῦ ἰουδαϊσμοῦ στὴν ἐποχὴ τῆς καταστροφῆς τῆς Ἱερουσαλήμ· λέγει: «Ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν ἐνθέων, τότε τὴν πόλιν ἁλώσεσθαι καὶ καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στάσις ὅταν κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ τέμενος· οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδοσαν» (Ἰουδ. Πόλεμ, 4, 388).

[1] Εὐσεβίου Ἐκκλησιαστιακή Ἱστορία, ΒΕΠΕΣ τ. 19 σσ. 252-253: «Μετὰ Νέρωνα

δέκα πρὸς τρισὶν ἔτεσιν τὴν ἀρχὴν ἐπικρατήσαντα τῶν ἀμφὶ Γάλβαν καὶ Ὄθωνα ἐνιαυτὸν ἐπὶ μησὶν ἓξ διαγενομένων, Οὐεσπασιανός, ταῖς κατὰ Ἰουδαίων παρατάξεσιν λαμπρυνόμενος, βασιλεὺς ἐπ’ αὐτῆς ἀναδείκνυται τῆς Ἰουδαίας, αὐτοκράτωρ πρὸς τῶν αὐτόθι στρατοπέδων ἀναγορευθείς. τὴν ἐπὶ Ῥώμης οὖν αὐτίκα στειλάμενος, Τίτῳ τῷ παιδὶ τὸν κατὰ Ἰου δαίων ἐγχειρίζει πόλεμον. μετά γε μὴν τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν Ἰουδαίων πρὸς τῷ κατ’ αὐτοῦ τολμήματι ἤδη καὶ κατὰ τῶν ἀποστόλων αὐτοῦ πλείστας ὅσας ἐπιβουλὰς μεμηχανημένων, πρώτου τε Στεφάνου λίθοις ὑπ’ αὐτῶν ἀνῃρημένου, εἶτα δὲ μετ’ αὐτὸν Ἰακώβου, ὃς ἦν Ζεβεδαίου μὲν παῖς, ἀδελφὸς δὲ Ἰωάννου, τὴν κεφαλὴν ἀποτμηθέντος, ἐπὶ πᾶσί τε Ἰακώβου, τοῦ τὸν αὐτόθι τῆς ἐπισκοπῆς θρόνον πρώτου μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν κεκληρωμένου, τὸν προδηλωθέντα τρόπον μεταλλάξαντος, τῶν τε λοιπῶν ἀποστόλων μυρία εἰς θάνατον ἐπιβεβουλευμένων καὶ τῆς μὲν Ἰουδαίας γῆς ἀπεληλαμένων, ἐπὶ δὲ τῇ τοῦ κηρύγματος διδασκαλίᾳ τὴν εἰς σύμπαντα τὰ ἔθνη στειλαμένων πορείαν σὺν δυνάμει τοῦ Χριστοῦ, φήσαντος αὐτοῖς· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου», οὐ μὴν ἀλλὰ καὶ τοῦ λαοῦ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας κατά τινα χρησμὸν τοῖς αὐτόθι δοκίμοις δι’ ἀποκαλύψεως ἐκδοθέντα πρὸ τοῦ πολέμου μεταναστῆναι τῆς πόλεως καί τινα τῆς Περαίας πόλιν οἰκεῖν κεκελευσμένου, Πέλλαν αὐτὴν ὀνομάζουσιν, [ἐν ᾗ] τῶν εἰς Χριστὸν πεπιστευκότων ἀπὸ τῆς Ἱερουσαλὴμ μετῳκισμένων, ὡς ἂν παντελῶς ἐπιλελοιπότων ἁγίων ἀνδρῶν αὐτήν τε τὴν Ἰουδαίων βασιλικὴν μητρόπολιν καὶ σύμπασαν τὴν Ἰουδαίαν γῆν, ἡ ἐκ θεοῦ δίκη λοιπὸν αὐτοὺς ἅτε τοσαῦτα εἴς τε τὸν Χριστὸν καὶ τοὺς ἀποστόλους αὐτοῦ παρηνομηκότας μετῄει, τῶν ἀσεβῶν ἄρδην τὴν γενεὰν αὐτὴν ἐκείνην ἐξ ἀνθρώπων ἀφανίζουσα»